τέραις ἀποδείξεσι τὴν ἐπιπροσθοῦσαν τῇ διανοίᾳ ἀχλὺν ἀνακαθαίρουσα, ὀξυδερκῆ πρὸς τὴν τῶν ἀκηράτων ἐκείνων σωμάτων θέαν παρασκευάσει. Εἶτα ἐπαγαγόντες καθ' ἕνα τὰ τοῦ ὁρισμοῦ μέρη, ῥητορικώτερον ἑρμηνεύσομεν. Εἰδέποτε καὶ ἀνασκευάσαι βουλώμεθα τὸν ὁρισμὸν, σκεπτέον εἴ τις ἐν αὐτῷ εἴληπται λέξις ὁμώνυμος, ἢ ἐκ μεταφορᾶς, ἢ ἀσυνήθης καὶ καταχρηστικῶς, ἢ ἂν περιττόν τι πρόσκειται καὶ περίεργον. οὗ ἀφαιρεθέντος, τοῖς καταλειπομένοις δηλοῦται ἡ οὐσία τοῦ ὁριστοῦ, εἴ τις παρειμένον ἢ παρηλλαγμένον ἢ, οὗ ἄνευ, ἐλλειπὴς ὅρος καὶ ἀσαφής· Ἐκ τούτων οὖν, καὶ τῶν ὁμοίων πειρατέον ἀνασκευάζειν τοὺς ὁρισμοὺς, ὥσπερ καὶ κατασκευάζειν ἐκ τῶν ἐναντίων. Ἔστι δὲ πολιτικωτέρα μέθοδος, εἰς ἀνατροπὴν καὶ ἐμπέδωσιν τοῦ ὅρου, ἣν εἰσηγεῖται Ἑρμογένης ἐν τῷ περὶ ὅρου. αὕτη δὲ διαλεκτικὴ μᾶλλον καὶ φιλοσόφοις προσήκουσα, ἐμὴν οὐδὲ Ῥήτορσιν ἀνοίκειος, κατ' ἐκείνους ἐκφερομένη.

## ΠΕΡΙ ΥΠΟΓΡΑΦΗΣ.

Ὑπογραφὴ ὅρος ἐστὶν ἀτελὴς, καὶ οἷον πεπηρωμένος, τὸ τί ἐστιν ἤτοι τοῦ ὑποκειμένου οὐσίαν κατά τινα τυπώδη τῇ τῶν συμβεβηκότων περιγραφῇ, ἐπαινιττόμενος· ὡς ἥπερ ὑπογραφή, οὐδὲ μονοειδής ἐστι καὶ ἁπλῆ, ἀλλὰ πολλῶν ὄντων τῶν συμβεβηκότων, πολυειδῆ τὴν λῆψιν ἔλαχεν. ἔστι γὰρ ὑποτυπῶσαί τε καὶ διαγράψαι τὸ προβληθέν. Ἡ ἀπὸ τοῦ ποιητικοῦ αἰτίου, ὡς τοῦ Πλάτωνος ἐν Ὅροις. Ἡμέρα ἐστὶν ἡλίου πορεία ἀπὸ ἀνατολῶν εἰς δυσμάς.



ΙΩΑΝΝΙΝΑ 2006

Ἢ ἐξ ὕλης καὶ ὧν σύγκειται μερῶν. οἷον, οἰκία ἐστὶν, ἥπερ ἐκ θεμελίου συνέστηκε, καὶ τοίχων. καὶ στέγης. Ἢ ἐκ τοῦ τέλους, ἤτοι ἀποτελέσματος· ὡς ἐπὶ τοῦ προτεθέντος. Ἀστρολογία ἐστὶν, ἡ ἐθίζουσα τὴν ψυχὴν εἰς τὸ ἄνω ὁρᾶν, καὶ ἀπὸ ἐνθένδε ἐκεῖθεν μετάγουσα. ὁμοίως καὶ ἐκ τῶν λοιπῶν συμβεβηκότων. ὡς ἐπὶ τοῦ ἀνθρώπου. Ἄνθρωπος ἐστὶ ζῶον ὀρθοπεριπατητικὸν, ὄρθιον, πλατυόνυχον, χερσὶ χρώμενον, καὶ τὰ ὅμοια. Ἔσθ' ὅτε καὶ μεταφοραῖς, ἤτοι ὁμοιώσεσι τὴν οὐσίαν ἐμφαίνομεν. οἷον, ἄρχων ἐστὶν ὁ πιστευθεὶς τοὺς οἴακας τοῦ σκάφους τῆς πόλεως. Χρώμεθα δὲ τῇ ὑπογραφῇ πρός τε τὸ ἀνασκευάζειν, καὶ κατασκευάζειν κατὰ ταὐτὰ τῷ ὁρισμῷ, ἐπεὶ καὶ ὁρισμός ἐστιν ὡς εἴρηται, καίπερ ἐλλειπής. οἷον ἐπὶ τοῦ προτεθέντος οὑτωσίπως ἐπιχειρεῖν ἐνδέχεται. Οἶμαι δὲ πάντες ἂν ὁμολογήσαιεν ἐκείνην εἶναι τῶν ἐπιστημῶν τὴν καλλίστην καὶ τελεωτάτην, ἥπερ ὡς ἐφικτὸν ἀνθρώπῳ τῶν χαμαιπετῶν τούτων καὶ ἐπικήρων τὴν ψυχὴν ἀνασπῶσα, τὰ θεῖά τε καὶ ἀκήρατα ἐποπτεύειν κατασκευάζει, καὶ διὰ τῆς θέας τῆς ἐκείνων συνάπτει καλλέσιν ὧν ἀμυδρᾷ τινι φαντασίᾳ ἐν περινοίᾳ τινὸς γενέσθαι πασῶν τῶν περὶ τὰ καθ' ἡμᾶς ἀποδείξεων κρείττων νομίζεται. ἀμέλει τουτὶ διαφερόντως ἀστρολογία ἐργάζεσθαι πέφυκεν. ἥτις ἐστὶν ἡ μάλιστα τοὺς κεκτημένους, καὶ τὰ ἑξῆς.

## ΠΕΡΙ ΕΤΥΜΟΛΟΓΙΑΣ.

Ἐτυμολογία, ἥτις καὶ φερωνυμία λέγοιτ' ἂν, καὶ ἔτυμον, μετάληψίς ἐστι τοῦ ὀνόματος

εἰς

εἰς λόγον ἑρμηνευτικὸν τῶν ἐξ ὧν σύγκειται μερῶν, ἢ ὅθεν παρῆκται, ἢ (ὥς φησιν Εὐστάθιος) λόγος ἐπαυληθιζομένην δεικνὺς τὴν λέξιν τῇ φύσει τοῦ πράγματος. οἷον, εὔψυχος, ὁ εὖ τὴν ψυχὴν ἔχων. καὶ ἀστρολογία, ἡ τῶν ἄστρων σκεπτομένη τοὺς λόγους. ἐξ ἐτυμολογίας τοιγαροῦν εἰς ἀνασκευήν τε καὶ κατασκευὴν τῶν ζητουμένων ἐπιχειρημάτων ἐστὶν εὐπορῆσαι. ἂν (ὥς φησιν Ἀριστοτέλης) τὰ ὀνόματα ἐπὶ τὸν λόγον μετενεγκόντες, τοῦτον δείξομεν ἐφαρμόττοντα, οἷς ἂν ἡμῖν πρόκειται, κἂν μὴ δοκῇ τοὔνομα. οἷον, εὔψυχος μὲν, ἰδιάζεται τῷ ἀνδρείῳ· εἰ οὖν βουλώμεθα, καὶ τὸν ἥντινα οὖν ἀρετὴν κεκτημένον εὔψυχον ἀποδεῖξαι, μεταληψόμεθα τοὔνομα εἰς τὸν λόγον. ὅς τις ἐστὶν ὡς εἴρηται, ὁ εὖ τὴν ψυχὴν ἔχων, εἶθ' οὕτω καὶ δικαίῳ, καὶ σώφρονι, καὶ ἁπλῶς πᾶσι τοῖς ἁμηγέπως τὴν ψυχὴν διά τινος τῶν ἀρετῶν εὖ διατεθειμένοις ἐφαρμόττον τὸ πρόσρημα δείξωμεν. ἢ ἐπὶ τοῦ προτεθέντος. εἰ βουλώμεθα τὴν ἀστρολογίαν ἀδιαμάρτητον ἐμφῆναι περὶ τὴν τῶν ἀστέρων θεωρίαν, ἐροῦμεν μεταλαβόντες πρότερον τὴν λέξιν εἰς τοιόνδε λόγον. Ἀστρολογία ἐπιστήμην δηλοῖ καταληπτικὴν τῶν περὶ τοὺς ἀστέρας λόγων. ὁ τὸν λόγον τινὸς ἔχων, οὐκ ἄν ποτε διαμάρτοι οὗπερ τὸν λόγον ἔχοι, ἀλλὰ μὴν ἡ ἀστρολογία ἔχει τῶν ἀστέρων τοὺς λόγους ὧν ἐστι καταληπτική. οὐκ ἄρα ἡ ἀστρολογία μέχρις οὗ μένει τοιαύτη, διαμάρτοι περὶ τὴν τῶν ἀστέρων θεωρίαν. Ὅτι δὲ ἡ ἀστρολογία καταληπτικὴ τῶν περὶ τοὺς ἀστέρας λόγων, τοῦτο τῇ τῶν ὁμοίων παραθέσει ἐμ-

ἐμπεδώσομεν. καὶ γὰρ Φυσιολογία ἐστὶν, ἡ τοὺς τῆς Φύσεως λόγους ἔχουσα, καὶ Θεολογία, ἡ τοὺς περὶ θεοῦ καὶ τὰ ὅμοια. Ἔστι δὲ καὶ ἄλλως ἐξ ἐτυμολογίας ἐπιχειρημάτων εὐπορῆσαι, ἤπερ οἰκείως καὶ καταλλήλως ταῖς τῶν προσώπων ἐνεργείαις κεῖσθαι διερμηνεύσωμεν τὰ ὀνόματα, τὰ ἐφ' ἑτέρας μὴ μεταφέροντες, μήτε συλλογιζόμενοι, ὃ καὶ Φερωνυμία ἰδιαίτερον προσηγόρευται· ὃ καὶ μᾶλλον ἐπιπολάζον ἐστὶν ἰδεῖν παρά τε Ῥητόρων καὶ Ποιητῶν τοῖς συγγράμμασιν, ὡς τὸ τοῦ Ἡρωδίκου παρ' Ἀριστοτέλει; ὃς τοὺς Δράκοντος νόμους ἐκφαυλίζων, οὐκ ἀνθρώπου, ἀλλὰ δράκοντος ἐκάλει· χαλεπὸν γάρ· ἐπιρρεπὴς δὲ ὁ τόπος εἰς ψυχρολογίαν τοῖς κατακόρως κεχρημένοις.

## ΠΕΡΙ ΓΕΝΟΥΣ.

Διαλεκτικοὶ μὲν, καὶ ὅσοι τῆς Φιλοσόφου Φατρείας, βαθυτέραν εἰώθασι τὴν περὶ γένους, εἴδους, καὶ τῶν λοιπῶν καθόλου Φωνῶν θεωρίαν ποιεῖσθαι. ἀκριβέστερον γὰρ ἐρευνῶσι περὶ τούτων, ἢ τῶν ὑφεστηκότων εἰσὶ, ἢ ψιλῇ καὶ μόνῃ τῇ ἐπινοίᾳ τὴν ὕπαρξιν ἔχει· καὶ εἰ τῶν ὑφεστηκότων τυγχάνει, πότερον σώματά εἰσιν, ἢ ἀσώματα. καὶ τούτων αὖ, ἢ καθ' ἑαυτὰ καὶ ἐκτὸς τῆς ὕλης, ἢ ἐν τοῖς αἰσθητοῖς καὶ ἀτόμοις ὑπάρχει. κατηγορίας αὐτῶν τούτων ἀναπτύσσοντες, σχέσεις τε καὶ ὁρισμοὺς ἀναθεωροῦντες, καὶ πᾶν ὁτιοῦν εἰς τελεωτέραν περὶ τούτων πραγματείαν πολυπραγμόνως ἀνακρίνουσιν. Οἱ δὲ Ῥήτορες ὑπτιώτερόν πως περὶ αὐτῶν διαλαμβάνουσι πρὸς τὴν τῶν ἀκροατῶν εὐμάθειαν διαφερόντως μάλα

μάλα ἀφορῶντες, ἢ πρὸς τὴν τῶν ὄντων ἀλήθειαν. ἐφ᾽ ὅτῳ δὴ καὶ τῶν συντιθέντων τὰς τῶν λόγων τέχνας, οὐδεὶς περὶ τούτων διακεκριμένως φαίνεται πραγματευσάμενος. τοῖς μέντοι ἀπὸ τούτων ἐπιχειρήμασι, συχνοῖς μάλα ἐστὶν ἐντυχεῖν παρὰ Ποιηταῖς τε καὶ Ῥήτορσιν. ἐκ γὰρ τῶν μέχρι τοῦδε ἐκτεθειμένων τόπων, σπανίως ἐστὶν ἰδεῖν ἐπιχειροῦντας τοὺς Ῥήτορας. ἔστι τοιγαροῦν ὑπογράψαι τοιῶσδε· τὸ γένος ἐστὶ τὸ ἐπὶ πολλὰ ἐκτεινόμενον εἴδη, ἢ ᾧ πολλὰ ὑποπίπτει εἴδη. οἷον, εἰ δένδρον εἴπῃς, καὶ δρῦν, καὶ πλάτανον, καὶ ἐλαίαν συμπεριείληφας· εἰ δὲ ἐπιστήμην φαίης, καὶ γεωμετρίαν, καὶ ἀστρονομίαν, καὶ φυσικὴν τε καὶ μεταφυσικὴν ἐδήλωσας. καὶ τ᾽ ἄλλα ὡσαύτως. Ἔστι δ᾽ ὁ τόπος εἰς ἀνασκευὴν καὶ κατασκευὴν χρήσιμος. ἀναιρουμένου γὰρ τοῦ γένους, συναναιρεῖται καὶ τὰ ὑφ᾽ αὐτὸ πάντα. κατασκευαζομένου δὲ, κἀκεῖνα συγκατασκευάζονται. οἷον, ἀποδειχθέντος ὅτι ἡ ἀρετὴ αἱρετή, καὶ σωφροσύνη καὶ δικαιοσύνη ἀρεταὶ οὖσαι, αἱρεταὶ ἀποδειχθήσονται. ἐπὶ δὲ τοῦ προκειμένου ἐπιχειρεῖν ἐνδέχεται οὕτω. Πᾶσα μὲν ἐπιστήμη λογικοῖς οὖσιν ἀνθρώποις, οὐχ ὅπως καθ᾽ ἕνα, ἀλλὰ καὶ πόλει, καὶ γένει ξύμπαντι λυσιτελέστατον. ἀληθείας γάρ ἐστι μελέτη, ῥώμη βίου, ψυχῆς κόσμος, καλοκἀγαθίας ἄσκησις. διαφερόντως δὲ τῶν ἄλλων ἀστρολογία, ἐφ᾽ ὅσον καὶ τῶν λοιπῶν ἁπάντων διενήνοχε, τῷ τε τῶν ἀποδείξεων ἀκριβεῖ, καὶ τοῦ ὑποκειμένου τῷ ὑπερέχοντι. Κατὰ ταῦτα δὲ καὶ ἀνασκευαστέον ἐπειδὰν παρεμπέσοι.

ΠΕΡΙ

## ΠΕΡΙ ΕΙΔΟΥΣ.

Καὶ περὶ μὲν γένους ἀπόχρη τὰ εἰρημένα. διαλεκτικῶν γὰρ ἐστὶν (ὡς ἔφημεν,) θεωρητικώτερον τὴν περὶ τούτων ἀποτείνειν ἔρευναν. Εἴδη δὲ προσαγορεύεσθαι εἴωθε, τὰ ὑποπίπτοντα τῷ γένει μόρια. ὅσα γὰρ ἐπί τι γένος ἀνάγεται, ταῦτα καθὸ ἀνάγεται εἴδους ἐπέχουσι λόγον, κἂν γένος τελοῦσι τοῖς μετ' αὐτὰ κατὰ πλειόνων τῷ εἴδει κατηγορούμενον. οἷον, ἐλαία, εἶδος μὲν τυγχάνει φυτοῦ ὑπ' ἐκείνῳ τελοῦσα· γένος δὲ εἰ τύχη κοτίνου, ἀγριελαίου, κολυμβάδος, καὶ τῶν ὁμοίων. οὕτω καὶ ἐπιστήμη, εἶδος μὲν τῆς ἕξεως. γένος δὲ ἀστρολογίας, γεωμετρίας, καὶ τῶν λοιπῶν. Ἀπὸ γοῦν τοῦ εἴδους ἐπὶ τὸ γένος ὅσοι καταφατικῶς ἐπιχειροῦσι, πάντως ἀληθεύουσιν. οἷον, Ὀλύμπια νενίκηκεν, ἄρα στεφανίτην ἀγῶνα· εἶδος γὰρ τὰ ὀλύμπια τοῦ ἀγῶνος. ἐπειδὴ καὶ Ἴσθμια, καὶ Πύθια, ἀγῶνές εἰσι στεφανῖται. καὶ οὕτω κἀπὶ τοῦ παρόντος. Ἀστρονομία ἐστὶν, ἄρα ἐπιστήμη. Ἀποφατικῶς δὲ, εἴτις ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος ἐπιχειρῶν καθολικόν τι συναγαγεῖν πειραθείη, οὐκ ἄν ποτε ἀληθεύσοι. οὐ γὰρ ὅτι μὴ ἄνθρωπος τοῦτο οὐδὲ ζῶον. οὐδ' ὅτι μὴ ἀστρονομία τοῦτο οὐδ' ἐπιστήμη. κατὰ μέρος μέντοι, οἷον οὐκ ἀσκοῦνται τὰ περὶ τὴν ἀστρονομίαν οἱ τῶν ἰατρῶν παῖδες, ἄρα οὐδὲ πᾶσαν ἐπιστήμην. Τῆς οὖν ἀστρονομίας γενικῶς λαμβανομένης εἴδη, εἴτ' οὖν μέρη λέγοιτ' ἂν, κοσμογραφία, ἥτις περὶ τὰ καθολικώτερον στρέφεται. τοῦ παντὸς μέρη. ἥ τε τὰς κινήσεις καὶ σχήματα τῶν ἀστέρων θεω-

θεω-

θεωροῦσα, τῷ γενικῷ ὀνόματι ἀστρονομία προσαγορευομένη. καὶ παρὰ ταύτας ἡ ἀποτελεσματικὴ. ἧς ὅση περὶ τὰ γενέθλια καταγίνεται, καὶ γενεθλιατικὴ λέγοιτ᾽ ἄν. ὅση δ᾽ αὖ περὶ τὰς μεταβολὰς τῶν ἀρχόντων, καὶ ἀνδραποδισμοὺς ἐθνῶν, πόλεών τε ἀναστατώσεις καὶ ὅσα εἰς ἔθνη ὅλα ἀνήκουσι, τοῦτο αὐτὸ ἀποτελεσματικὴ κέκληται. καὶ προσέτι ἡ ἐκ τῶν ἐκλείψεων, ἐπιτολῶν, καὶ καταδύσεων, τῶν ἀστέρων τὰς τοῦ ἀέρος μεταβολὰς σκεπτομένη, καὶ τούτων ὑετοὺς, αὐχμοὺς, πνίγος, ἀλέας, καταιγίδας, εὐφορίας καρπῶν καὶ ἀφορίας, τό, τοῦ περὶ τὰς ὥρας ὑγιεινὸν καὶ νοσῶδες, καὶ ἄλλα τοιαῦτα προθεωροῦσα, ἐξ ὧν ἡ ἅμα πάντων, ἢ γοῦν ἐνίων ἐπιχειρημάτων ἐστὶν εὐπορῆσαι τὰ ἐπωφελὲς παριστῶντα τῆς περὶ τὴν ἀστρονομίαν ἀσκήσεως. εἰ γὰρ κοσμογραφία μὲν, καὶ ὅση περὶ τὰ γενέθλια θεωρία, καὶ τὰ λοιπὰ τῶν ἀποτελεσματικῶν, ἥ τε περὶ τὰ οὐράνια σώματα γνῶσις οὐχ ὅπως ἐπωφελὲς, ἀλλὰ καὶ θεῖον ὄντως, καὶ ἀνθρωπίνης εὐδαιμονίας τὸ ἔσχατον, πῶς ἡ περὶ τὴν ἀστρολογίαν σπουδὴ οὐκ ἂν εἴη ἐν βίῳ λυσιτελέστατον;

## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΚΑΙ ΙΔΙΟΥ.

ΤΗν διαφορὰν καὶ τὸ ἴδιον οἱ Ῥήτορες εἰς ἓν ἄγουσι, καὶ ἀναμὶξ περὶ ἀμφοῖν πραγματεύονται. Ἔστι δὲ διαφορὰ, τὸ ποιοῦν διαφέρειν ἕτερον ἑτέρου. ἧς διττὸν ἐστὶ γένος. τὸ μὲν οὐσιῶδες, ὃ καὶ ἄλλο τι ποιεῖ τῶν λοιπῶν τὸ ᾧ συνέζευκται, καὶ εἰδοποιὸς κέκληται. οἷον, τὸ λογικὸν τῷ ἀνθρώπῳ προσκείμενον, ἄλλο τι

τοῦτον ποιεῖ τοῦ βοός. ἕτερον δὲ γένος ἐστὶ
κατὰ συμβεβηκός, ὅπερ οὐκ ἄλλο τι ποι-
εῖν πέφυκεν, ἀλλὰ ἀλλοῖον τὸ ᾧ συμβέ-
βηκεν. οἷον, τὸ ἐν Σωκράτει φαλακρὸν, ἀλ-
λοῖον ποιεῖ τὸν Σωκράτην τοῦ Πιτθέως Με-
λίτου τετανότριχος ὄντος. Ἴδιον δὲ
ἐστὶν, ὡς οἱ περὶ τοὺς Φιλοσόφους ἀκριβολο-
γοῦσιν, ᾧ μόνῳ συμβέβηκε τῷ ὃ ἐστὶν ἴδιον, καὶ
παντὶ τῷ ἐκείνου εἴδει, καὶ ἀεί. οἷον ἀνθρώπῳ
τὸ γελαστικόν. Οἱ δὲ Ῥήτορες τῷ ἰδίῳ ὡς τὰ
πολλὰ καὶ τὰ συμβεβηκότα ἀναμιγνύουσιν. οἷον,
μητρᾶσι μὲν ἴδιον ἀπονέμοντες τὸ φιλόστοργον·
μητρυιαῖς δὲ τὸ ἄστεργον. καὶ πάλιν Ἀθηναίοις
μὲν, τὸ ἐν σοφίᾳ φιλοθεάμον· Λακεδαιμονίοις
δὲ, τὸ ἐν πολέμοις παράβολον. ἀλλὰ καὶ ἔθνει
παντί. οἷον, ἕλλησι μὲν, ἴδιον μένειν οἷς ἅ-
παξ ἔδοξε· Βαρβάροις δὲ, ἀστατεῖν, καὶ τὸ
τῆς γνώμης παλίμβολον. καὶ ἐπὶ τοῦ προκειμέ-
νου. ἀστρολογίας μὲν ἴδιον, ἅτε δὴ καὶ τῶν ἄλ-
λων ἐπιστημῶν τῆς ἀγνοίας ἀνακαθαιρούσης τὴν
διάνοιαν, ὀξυτέραν τε καὶ ἐνεργεστέραν παρα-
σκευάζειν περὶ τὴν τοῦ ἀληθοῦς ἔρευναν. ἴδια
δὲ τὸ περὶ τοιαῦτα οἷα εἰσὶ τὰ οὐράνια σώμα-
τα: καὶ τοιῶσδε καθ' ὃν δηλαδὴ λόγον ταῦτα
διασκέπτεται. ἐντεῦθεν οὖν ὧδέ πως ἐπιχειρη-
τέον: Εἰ μέγα μὲν τὸ ὀξυδερκὲς καὶ ἀγχίνουν
περὶ τὴν τοῦ ἀληθοῦς εὕρεσιν, καὶ πᾶσιν ἀνθρώ-
ποις πέφυκε περισπούδαστον, οὐχ ὅπως ὅτι ἄ-
πταιστον περὶ τὴν ὄντως θεωρίαν παρασκευά-
ζει τὸν ἔχοντα, ἀλλὰ καὶ πάσας ἐκείνου ὀρέξεις
τε καὶ ἐνεργείας διευθύνει τε, καὶ κόσμον αὐτοῖς
ἐμποιεῖ τὸν προσήκοντα. πῶς οὐκ ἂν περιπο-
θητον

θητον. αἱ ἐπιστῆμαι, καὶ τῷ τῶν ἀνθρώπων βίῳ λυσιτελήσαιεν; δι' ὧν τοῦτο τοῖς ἀνθρώποις φύσιν ἔχει πορίζεσθαι; εἰ δὲ τοῦτο ταῖς ἄλλαις ἐπιστήμαις προσήκει, πολλῷ μᾶλλον ἀστρολογίᾳ, ἢ τὸ ὀξὺ καὶ εὐσύνετον περὶ τὴν τοῦ ἀληθοῦς εὕρεσιν ἐν τοῖς θειοτέροις τῶν ὄντων πορίζεται, καὶ ἐναργεστέραις ταῖς ἀποδείξεσι;

## ΠΕΡΙ ΤΩΝ ΑΙΤΙΩΝ.

Αἰτία δέ ἐστι δι' ἣν πρὸς τοὺς διατί ἐστι πυνθανομένους ἀπαντῶμεν. Εἰσὶ δὲ τῶν αἰτιῶν γένη τέτταρα. τὸ τελικὸν δηλαδή. τὸ ποιητικόν. ὑλικόν τε παρὰ ταῦτα καὶ εἰδικόν. ὧν τὸ μὲν τελικὸν αἴτιόν ἐστιν οὗ ἕνεκα τἆλλα γίγνεται. οἷον τοῦ ὑγιαίνειν ἕνεκα, τὸ γυμνάζεσθαι· καὶ τῆς μαθήσεως, ἡ περὶ τὴν σχολὴν ἄσκησις· καὶ ἡ τῶν χρημάτων εὐπορία, τῆς ἐμπορίας ἐστὶ τέλος· καὶ τὰ ὅμοια. Τῆς ἀστρολογίας, ὅσον μὲν καθαρῶς ἐστι θεωρητικὸν, τέλος ἔσχηκεν ὥστε δὴ καὶ πᾶσα ἐπιστήμη τὴν τοῦ ἰδίου ὑποκειμένου θεωρίαν, ὅπερ ἐστὶν ἡ τῶν θείων σωμάτων ποικιλία τε καὶ θεάματα. ὅσον δὲ ἀποτελεσματικὸν παρὰ τὴν θεωρίαν καὶ τὴν πρόγνωσιν τῶν καθ' ἡμᾶς συμβαινόντων, κατὰ τὰς ἐκείνων φοράς τε καὶ ἀποῤῥοίας ἑαυτῷ τέλος ποιεῖται. Ὅθεν καὶ ἐπιχειρεῖν ἐστιν οὑτωσί πως. Ὅτι μὲν οὖν ἡ περὶ τὴν τῶν θείων σωμάτων ποικιλίαν καὶ κάλλος θεωρία τῶν ἐφετῶν ἐστί τι, καὶ μέγα εἰς εὐδαιμονίαν ἀνθρώπων συμβαλλόμενον, οὐδεὶς νῦν ἔχων ἀμφισβητήσειεν. ἡ δὲ τῶν μελλόντων πρόγνωσις, ἀτεχνῶς δαιμόνιόν τι χρῆμα, καὶ τῆς θείας μοίρας πέ-

φυκε πλεονέκτημα· ἀλλ᾽, εἰ τοῦτο οὕτως ἔχον ἐστὶ καὶ παρὰ πᾶσιν ὡμολόγηται, πόσου ἂν τιμηθείη ἀστρολογία, δι᾽ ἧς τοῦτο τοῖς ἀνθρώποις προσγίνεται;

Περὶ τοῦ ποιητικοῦ αἰτίου.

Ποιητικὸν δὲ αἴτιον, ἀφ᾽ οὗ τι εἰς ὕπαρξιν πρόεισιν. οἷον, τὸ κεράμειον ἐκ τοῦ κεραμέως, καὶ πρὸς τοῦ ἡλίου τὸ φῶς. Ἐπιστήμης δὲ οἷα δὴ καὶ τεχνῶν ἁπασῶν ποιητικόν ἐστιν αἴτιον, τὸ τοῦ νοὸς ὀξυδερκές τε καὶ γόνιμον διὰ τῆς συνεχοῦς ἐνεργείας. Ποιηταὶ δὲ πολλάκις καὶ Ῥήτορες τὴν τῶν ἐπιστημῶν γένεσιν εἰς Θεὸν ἀναφέρουσι, καὶ οὕτω μὲν κομψευομένοις, ῥᾷστα πολλῶν καὶ καλῶν ἐπιχειρημάτων ἐκ τοῦ ποιητικοῦ εὐπορῆσαι αἰτίου ἐπὶ τῆς ἀστρολογίας. ἂν δὲ τὰ κομψὰ ταῦτα τοῖς πραγματευομένοις δόξει παραῤῥιπτέα, ἐκ τοῦ ὑπερέχοντος τοῦ νοὸς ληπτέον τὸ ἐπιχείρημα. οἷον, Νοῦς μὲν ἁπάντων τοῖς ἐν ἀνθρώποις τὸ κάλλιστον ὄντως καὶ τιμιώτατον, καὶ μόνος φέρειν εἴληχως τὴν τοῦ Θείου ἐπωνυμίαν, ὡς μόνος ὢν ἀκήρατος ὑπέρτερος τῶν ἄλλων ἁπάντων ἐπικήρων ὄντων, ὅσα τῇ λογικῇ φύσει παρὰ τοῦ δημιουργήσαντος κεχάρισται. εἰ δὲ νοῦς τοιοῦτον, τίς οὕτω σκαιὸς καὶ τὴν διάνοιαν ἀμβλυωπῶν, ὅστις οὐχ ὁρᾷ ὅτι πᾶσα μὲν ἐπιστήμη, μάλιστα ἀστρολογία, γνήσιον οὖσα νοὸς ἀποκύημα, οὐτινοσοῦν, ὧν ἐπιβολοῦς τοὺς ἀνθρώπους γενέσθαι κρείττω καθέστηκε; τῶν γὰρ γινομένων ἕκαστον μετρεῖσθαι πέφυκε κατὰ τὴν τοῦ ποιητικοῦ αἰτίου τελειότητα. πᾶν γὰρ τὸ ἐνεργοῦν ἐξομοιοῦν ἑαυτῷ σπεύδει τὸ πάσχον κατὰ τὴν ἐνοῦσαν δύναμιν.

Περὶ τοῦ ὑλικοῦ αἰτίου.

Ὕλη δὲ ἐστὶν, ἐξ ἧς τι πέφυκε γίγνεσθαι. οἷον, ἐκ τοῦ πηλοῦ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ... ΙΩΑΝΝΙΝΑ

τὸ κεράμειον, καὶ ὁ ἀνδριὰς εἰ τύχῃ ἐκ τοῦ χαλκοῦ. ὅθεν ἡ τῶν ἐπιχειρημάτων λῆψις ἐστὶ κατάδηλος· εἰ γὰρ ὁ μὲν τῶν Ῥοδίων Κολοσσὸς ἐκ χαλκοῦ, ὁ δὲ τῶν Αἰγυπτίων Ἄνουβις ἐκ χρυσοῦ, προτιμητέος πάντως τοῦ τῶν Ῥοδίων Ἄνουβις. οὐκ ἐπὶ πάντων ἀληθεύσει μέντοι τὸ ἐξ ὕλης ἐπιχείρημα, ἐκ τῆς κρείττονος δηλαδὴ λαμβανόμενον. ἔσθ᾽ ὅτε γὰρ τὰ ἐκ χείρονος ὕλης διὰ τὸ ὑπερβάλλον τῆς τέχνης, ἢ διὰ τὸ χρήσιμον, ἢ γοῦν τῷ μεγέθει τῆς ποσότητος ὑπερέχοντα, αἱρετώτερά εἰσι τῶν τὴν ὕλην πολυτελῶν. Τῆς μὲν ἀστρολογίας ὕλη διττὴ ἥτε ἐκτὸς, δηλαδὴ περὶ ἣν τρέφεται, καὶ ἧς ἐστὶ θεωρητική. καὶ ἡ ἐντὸς ἐφ᾽ ἧς ἵδρυται, καὶ ἥντινος μορφοῖ τε καὶ διατίθησιν, ἥτις ἐστὶ τὸ λογικὸν τῆς ψυχῆς μόριον· ὃ καὶ κρεῖττον ὂν τῶν λοιπῶν, τῷ τε εἶναι καὶ τῷ ἐνεργεῖν, καὶ τῇ τιμιότητι, καὶ ταῖς ἐν αὐτῷ ἕξεσιν, οὐ μετρίαν χαρίζεται τὴν ὑπεροχήν. Εἰδικὸν δὲ αἴτιον, οἱ μὲν περὶ φιλοσόφους, τὸ οὐσιῶδες καὶ μόνον οἴδασιν εἶδος, ὅπερ τῇ ὕλῃ συμφυὲν, τὴν τοῦ συνθέτου οὐσίαν συνίστησιν. οἷον, τὸ τοῦ ἀνθρώπου εἶδος, τὴν Σωκράτους φέρ᾽ εἰπεῖν μορφῶσαν ὕλην, τὸ ἄνθρωπος εἶναι ἐκείνῳ χαρίζεται. Ῥήτορες δὲ καὶ τὰ συμβεβηκότα πολλάκις εἴδη καὶ τὰς μορφὰς οὐκ ὀκνοῦσι καλεῖν, εἶδος ἀνθρώπου λέγοντες τὴν τοῦ ἀνδριάντος μορφήν. Ἐπὶ γοῦν τοῦ προκειμένου εἰδικὸν αἴτιον αὐτοῦ ἡ ποιότης, καθ᾽ ἣν μορφοῦται πως ἐοικὼς, καὶ πρὸς τὴν τοῦ ἀληθοῦς φαντασίαν κινητότερος καθίσταται. τὸ δὲ ἐκ τοῦ ἐπιχειρήματος τοιόνδε. Εἰ μὲν τὴν τῶν αἰσθητῶν

Περὶ τοῦ εἰδικοῦ αἰτίου.



Ε.Υ.Α. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ων εὐεξίαν, οὐχ ὅπως ἐπαινοῦμεν, ἀλλὰ καὶ τὸν κατ' αὐτὴν εὖ ἔχοντα μακαρίζομεν, καὶ ταύτῃ ὡς εἰκὸς τὰ μάλιστα χαίρομεν, πῶς οὐκ ἂν ἐπαινέσωμεν ἐπιστήμην; καὶ ὅλῃ ψυχῇ ἀσπασώμεθα, νοὸς εὐεξίαν οὖσαν, τοσοῦτον τῶν αἰσθήσεων ὑπερέχουσαν, ὅσα καὶ ψυχὴ σώματος;

## ΠΕΡΙ ΤΟΥ ΑΠΟ ΤΩΝ ΕΝΕΡΓΕΙΩΝ ΤΟΠΟΥ.

Τὰς ἐνεργείας δὲ εἴπερ ἀνασκοπήσαιμεν, καὶ τῶν περὶ ὧν ὁ λόγος τὰ ἀποτελέσματα, οὐκ ἔσθ' ὅπως πολλῶν καὶ καλῶν ἐπιχειρημάτων ἀπορήσομεν. καὶ μάλιστα, οἰκείων τῷ Ῥήτορι. αἱ γὰρ ἐνέργειαι ἤτοι ἀποτελέσματα, σημεῖα εἰσὶν ἐξ ὧν (ὡς εἴρηται τῷ Φιλοσόφῳ), ὡς ἐπὶ τὸ πλεῖστον οἱ κατὰ Ῥήτορας συνίστανται συλλογισμοί. ἐκ τούτων γὰρ, οἱ τοῦ ὅτι συλλογισμοί, οἵπερ ἐκ τῶν ἡμῖν γνωριμωτέρων καὶ σαφεστέρων εἰωθότες λαμβάνεσθαι. Ῥητορικῇ μᾶλλον προσήκουσι, τῇ διὰ τῶν κοινῶν καὶ ἐνδόξων τελούσῃ τοῦ προτεθέντος πιθανουργικῇ. Εἰσὶ δὲ καὶ ὑπὸ τῶν ἀποτελεσμάτων δείξεις οὐ πᾶσαι ἀναγκαῖαι. ἀλλ' οἷαι εἰσὶν αἱ τεκμηριώδεις προσαγορευόμεναι. ὅσαι δήπουθεν ἐκ τῶν ἀντιστρεφόντων λαμβάνουσαι σημεῖον. οἷον, εἰ καπνὸς, ἄρα καὶ πῦρ. καὶ εἰ ἡμέρα, ἄρα καὶ ἥλιος ὑπὲρ γῆν. ἐφ' ὧν ἔστιν ἀμφοτέρωθεν τὸν συλλογισμὸν ἔκ τε τοῦ αἰτίου δηλονότι καὶ τοῦ αἰτιατοῦ ἀληθεύειν. Τῶν δὲ μὴ ἀντιστρεφόντων διττὸν ἐστὶ γένος. τὰ μὲν γὰρ ἐπὶ πλέον ἐστὶ τοῦ αἰτιατοῦ. οἷον ἡ ὠχρότης τοῦ τετοκέναι. τῷ μὲν γὰρ ἡ ὠχρότης ἕπεται. οὐ μὴν καὶ ἀνάπαλιν ὑπο-

ὑποτιθεμένης τῆς ὠχρότητος, πάντως συναγαγεῖν ἐστὶ τὸ τετοκέναι. ἐνδέχεται γὰρ καὶ ἐκ φόβου, ἢ νόσου ἢ ἄλλων τινῶν ὠχριᾶσαι. ἐπὶ οὖν τούτων ὁ τοῦ διότι μόνον ἀληθεύει συλλογισμός· δηλαδὴ ὁ ἐκ τῆς αἰτίας. Τὰ δὲ ἐπ' ἔλαττον εἰσὶ τοῦ αἰτιατοῦ. οἷον, ἡ τετοκυῖα γυνὴ, ἀνδρὶ πεπλησίακε πάντως. οὐ μὴν ἡ πλησιάσασα ὅλως καὶ τέτοκε. κἂν τούτοις, ὁ μὲν τοῦ ὅτι συλλογισμὸς ὁ ἐκ τῶν ἐνεργειῶν δηλονότι, πάντως ἀληθής. ὁ δὲ τοῦ διότι, ἤτοι ὁ ἐκ τῶν αἰτιῶν, οὐκ ἔτι. ἔστι δὲ ὁ τόπος ὡς τὰ πολλὰ ὁ αὐτὸς τῷ ἀπὸ τοῦ τέλους, εἴπερ ἀληθὲς τὸ κοινῇ παρὰ τῶν Φιλοσόφων λεγόμενον ἀξίωμα. ἕκαστον τῆς ἰδίας ἐνεργείας ἕνεκεν εἶναι. μάλιστα μέντοι τοῦτο σαφὲς ἐκ τῶν τῆς ψυχῆς δυνάμεων τε καὶ ἕξεων. οἷα ἐστὶ καὶ ἡ προτεθεῖσα εἰς ζήτησιν ἀστρολογία, ἐφ' ἣ τοιόνδε ἐστὶ κατασκευάσαι ἐπιχείρημα. Εἰ γὰρ τοιαύτας ἀνάγκη πᾶσα εἶναι τὰς δυνάμεις, οἷα εἰσὶ καὶ τὰ πρὸς τούτων ἀποτελούμενα, ὡς ὁ τῶν Φιλοσόφων βούλεται λόγος, καὶ ἡ φύσις σαφέστατα τῇ ὁσημέραι πείρᾳ ἐπισφραγίζεται, πῶς ἡ ἀστρολογία οὐ λυσιτελὲς τὰ ἐπωφελέστατα τῷ τῶν ἀνθρώπων προξενοῦσα γένει; διὰ ταύτης γὰρ καὶ στρατηγὸς ἄριστα τὰ εἰς στρατηγίαν ἀνήκοντα διοικεῖ, καὶ γεωργὸς ὅσα γεωργίᾳ προσήκει, καὶ ναύτης τὰ εἰς ναυτιλίαν ἀφορῶντα. ἀλλὰ καὶ ἡ ἀκριβὴς τῶν περὶ τὴν ἰατρικὴν καὶ φυσικὴν ἐπιστήμην γνῶσις, ἐκ ταύτης ἐξήρτηται. καὶ σχεδὸν ἅπας ὁ τῶν ἀνθρώπων βίος ταύτῃ διευθετεῖται καὶ διεξάγεται. εἰ μὴ μέλλει μυρίοις διαπεφυλάχθαι τοῖς καθ' ἡμέραν διαμαρτήμασί τε καὶ ἀτυχήμασι.